


# 02 IULIE
# SLUJBA
# SF.IERARH
# JUVENALIE AL IERUSALIMULUI
# ATENA,1890

ΤΗ͂Ι 2ᾳ ΙΟΥΛΙΟΥ

ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΟΥΒΕΝΑΛΙΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

---

**Εἰς τὸν ἑσπερινόν.**

Τὸ Μακάριος ἀνήρ· εἰς τὸ Κύριε ἐκέκραξα· στιχηρὰ τῆς Θεοτόκου Γ'. καὶ τοῦ ἱεράρχου προσόμοια Γ'.

**Ἦχος α'.**

**Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος, ὁ φωστὴρ ὁ λαμπρός, τῆς Σιὼν ὁ πρύτανις, ὁ ἔξαρχος τῶν σοφῶν, καθωραΐζων τοῦ Κυρίου τὸ τύμβιον, εἰς τὰς συνόδους λαμπρός, Χριστὸν κηρύξας, Θεὸν ὑπερτέλειον, ὑπερλογικαῖς μεθόδοις, τοὺς θεομάχους τροπούμενος, καὶ τελειωθεὶς ἐνθέως, δόξης κατηξίωσας, εἰς θείας σκηνώσεις, Ἰουβενάλιε πάνσοφε.

Βαβαὶ τῆς σῆς θεωρίας σοφέ! τοῦ ναοῦ γὰρ πύλας, διελθὼν ἐν πνεύματι, τὸ ὄρος τοῦ Γολγοθᾶ θεωρῶν, καὶ τὸν νοῦν φωτιζόμενος, ἐφάνης εἰς βασιλεῖς, ὑπὲρ τῆς Θεοτόκου ὑπέρμαχος, παρίστησιν ἀκριβῶς, τῶν δογμάτων καὶ ὕψος τῶν λόγων σου, καὶ τῆς θείας δόξης κατηξίωσαι, συναύλων ταγμάτων, Ἰουβενάλιε πάνσοφε.

Τὴν σὴν πανένδοξον κοίμησιν, γηγενῶν τὰ στίφη, σεπτῶς μακαρίζουσιν, ὑμνοῦντες πανευσεβῶς, Χριστὸν τὸν Κύριον, τὸν κόσμῳ σε θαυμαστόν, Ἱεροσολύμων ποιμένα, καὶ λαμπρὸν ἀναδείξαντα, λαμπτῆρα φωταγωγόν, Ἰουβενάλιε πάνσοφε, διὸ

πόθῳ τελοῦντες τὴν ἁγίαν μνήμην σου, ἀπημάντου συντήρει, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

**Δόξα· ἦχος πλάγ. δ'.**

Διέπρεψας πανόλβιε, ἱερομύστα, ἐπιφανῶς, κληρωσάμενος ἔνδοξε, τὸν θρόνον τοῦ Ἀδελφοθέου, χειροτονηθεὶς παρὰ Χριστοῦ, ἱεράρχα Ἰουβενάλιε, οὗπερ καὶ τὸν τρόπον ἐζήλωσας, ἐκεῖνος μὲν εἰς τὰς τῶν Ἀποστόλων συνόδους ἐκάθισεν, σὺ δὲ εἰς οἰκουμενικὰς συνόδους ἐν μέσῳ βασιλέων, καὶ ἀρχιερέων, τὸν Σωτῆρα Χριστὸν Υἱὸν Θεοῦ τρανῶς κηρύξας, ταῖς ἐκείνου διδαχαῖς ἑπόμενος· ὅθεν καὶ διήλεγξας τοῦ Νεστορίου καὶ Εὐτυχίου τὸ ἄθεον φρόνημα, καὶ πάντων τῶν αἱρετιζόντων τὸν κακόδοξον τρόπον, σαφῶς βδελυξάμενος, τὴν ἀειπάρθενον Μαρίαν, θεοτόκον ἐκήρυξας, τὰ ἐντάφια καὶ τὴν μετάστασιν αὐτῆς, ἐνώπιον ἀνάκτων ἐσαφήνισας· νῦν δὲ παριστάμενος ἐν οὐρανοῖς τῷ θρόνῳ τοῦ παντάνακτος Χριστοῦ τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν· τῆς Θεοτόκου.**

Εἴσοδος· τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα, τὸ πρῶτον τῆς Θεοτόκου, τὸ Β'. καὶ τὸ Γ'. τοῦ ἱεράρχου.

**Εἰς τὴν λυτήν, στιχηρὰ ἰδιόμελα.**

**Ἦχος α΄.**

Εὐφραίνεσθε ἐν Κυρίῳ τῶν εὐσεβῶν ἡ ὁμήγυρις ἀγάλλου καὶ χόρευε Ἱερουσαλήμ, εὐφραίνου ἡ ἐκκλησία τοῦ Χριστοῦ, ἐπὶ τῇ ἱερᾷ μνήμῃ καὶ πανηγύρει Ἰουβεναλίου τοῦ ἱεράρχου· οὗτος γὰρ διδάσκων κατέβαλε τὸν Βελίαρ, τὸν δὲ Θεάνθρωπον Χριστόν, παῤῥησίᾳ πολλῶν κηρύξας ἐνώπιον ἀνάκτων, ἀνῆλθε πρὸς τὸ ποθούμενον, πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος α΄.**

Εὐφροσύνως σήμερον, ἡ ἐκκλησία τοῦ Θεοῦ στολίζεται, ἀγαλλομένη κράζουσα, ἐλαμπρύνθη μου τὸ κάλλος, ὑπὲρ πᾶσαν

www.tezaurliturgic.ro



πόλιν· ἰδοὺ γὰρ τῶν ἀρχιερέων τὸ μέγα κειμήλιον, Ἰουβενάλιος ὁ πανένδοξος, τὴν πορείαν πρὸς οὐρανὸν ἐποιήσατο. Δεῦτε οὖν φιλέορτοι, τῶν ὀρθοδόξων τὸ σύστημα, χοροστατήσαντες ἅμα τῇ θείᾳ λάρνακι, ἰαμάτων πλημμύραν λαμβάνοντες παρ᾽ αὐτῆς, ἱκετεύσωμεν αἰτήσασθαι Χριστὸν τὸν Θεόν, τοῦ ῥυσθῆναι τὴν οἰκουμένην ἀπὸ πάσης αἱρέσεως.

### Ἦχος β'.

Ὡς Ἄγγελος γέγονας, τῆς τοῦ Χριστοῦ ἀναστάσεως, καὶ πρόεδρος ἔνθεος, τοῦ θείου μνήματος, τοῦ πλουτήσαντος τὴν πηγὴν τῆς ἀθανασίας, τῶν σῶν γὰρ ῥημάτων ὁ φθόγγος καὶ τῶν δογμάτων ἡ εὔσημος κιθάρα, διέδραμε, τῆς γῆς τὰ πέρατα τὸ μυστήριον, τὸ τῆς οἰκονομίας, τοῦ λόγου διδάσκουσα, πάτερ θεόληπτε.

**Ἦχος γ'.**

Γέγονας κατοικητήριον τοῦ ἁγίου Πνεύματος, ἱεράρχα Χριστοῦ, καὶ ἡ παντοδύναμος χάρις, εὑροῦσα τὴν ἱεράν σου ψυχήν, θεοχαρίτωτε Ἰουβενάλιε· ῥητορεύεις τὴν ἔνσαρκον παρουσίαν τοῦ Χριστοῦ εἰς τὸ ποίμνιόν σου, ἐν τῇ ἡμέρα τῆς Ἀναστάσεως τοῦ Κυρίου, ἐν μέσῳ τῆς ἐκκλησίας, σάλπιγξ γὰρ μεγαλόφωνος ἐδείχθης, ἐπιστηρίζων αὐτούς· καὶ τὰς τῷ Θεῷ ἀναιμάκτους θυσίας, ὑπὲρ τοῦ λαοῦ προσφέρων, ἱερωσύνης στολισμῷ διαπρέπων, καὶ εὐωδιάζων πᾶσαν τὴν οἰκουμένην, ἀφορῶν πρὸς τὰ μέλλοντα, πρὸς ἔλεον τῶν ἀδελφῶν, καὶ συμπάθειαν ῥέπουσαν, τὴν χάριν τῶν ἰαμάτων δαψιλῆ, σοὶ ἐχαρίσατο ἵνα καὶ τὸν ἔλεον τοῖς δεομένοις ἀφθονώτερον ἐπέδωκας, τοῖς πάσχουσι πάθη ποικίλα, θεραπεύεις ἑκάστοτε, καὶ πρεσβεύεις τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα, ἦχος πλαγ. δ'.**

Ἀγγελικὸν βίον, ἐν γῇ ἐπιδειξάμενος, ψήφῳ Θεοῦ, τὴν ποιμαντικὴν ῥάβδον ἐνεχειρίσθης, καὶ ἐν καθέδρᾳ ἀποστόλων καθήσας, ἀρχιερεὺς ἐννομώτατος, μέχρι τέλους σου ἐχρημάτισας,

μακαριώτατε καὶ θεοπρόβλητε Ἰουβενάλιε· ἱερουργῶν γαρ τα θεῖα καὶ ἄῤῥητα μυστήρια, τὸν Κύριον τοῖς ἐνθέοις ἔργοις σου ἐδόξασας· δι' ὅπερ καταντήσας εἰς βασιλείαν οὐράνιον, καὶ παριστάμενος τῷ θρόνῳ τῆς Ἁγίας Τριάδος· ὅθεν ἐξ ἀκηράτων ἀνθέων, ἐστέφθης παρ' αὐτῆς, καὶ μετα ἀγγέλων ἐν οὐρανοῖς συναγάλλῃ, αἴτησαι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν τῆς Θεοτόκου.**

Εἰς τὸν στίχ. στιχηρὰ τῆς Θεοτόκου· καὶ τὸ ἰδιόμελον.

**Ἦχος α΄.**

**Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.**

Πανσεβάσμιε πάτερ, Ἱεράρχα πανένδοξε, Ἱεροσολύμων τὸ ἐγκαλλώπισμα, καὶ τοῦ κόσμου προστατα θερμότατε. Ἐν μέσῳ γὰρ τῶν συνόδων παναοίδιμε, εὐπαῤῥησιάστως ἐκήρυξας τὸν Χριστὸν Θεὸν ὑπερούσιον, σάρκα δι' ἡμᾶς εἰληφότα, σταύρωσιν καὶ ταφήν, ἑκουσίως καταδεξάμενον, καὶ ἀναστάντα ἐν δόξῃ, ὡς Θεὸν παντοδύναμον, ὃν ἱκέτευε, Ἰουβενάλιε πανάγιε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα ἦχος β΄.**

Εἰς τὰ ὑπερκόσμια σκηνώματα τὸ πνεῦμά σου, Χριστὸς ὁ Θεὸς προσηκάμενος ἀμώμητον ἐδόξασε τηλαυγέστερον Ἱεράρχα Ἰουβενάλιε, καὶ ἐν Ἱεροσολύμοις τὴν ἕδραν τοῦ Παναγίου Τάφου κληρωσάμενος, ὅπου ὁ Θεάνθρωπος Ἰησοῦς τὸ ἑαυτοῦ πανάγιον αἷμα ἐξέχεεν εἰς τὴν τῶν βροτῶν ἀπολύτρωσιν, καὶ ἐν τάφῳ κατετέθη τὸ Πανάχραντον σῶμα αὐτοῦ· ἵνα ἡμᾶς ἐκ τῶν βαράθρων τοῦ Ἅδου ἀναστῆσαι· σὺ δὲ τῆς ἁγίας Τριάδος γέγονας ὑπέρμαχος, καὶ παριστάμενος μετὰ ἀγγέλων τῷ θρόνῳ τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν τῆς Θεοτόκου.**

**Ἀπολυτίκιον ἦχος πλ. δ΄.**

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς

www.tezaurliturgic.ro



οἰκουμένης ὁ φωστήρ, ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Ἰουβενάλιε σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα καὶ νῦν τῆς Θεοτόκου.**

**Ἀπόλυσις.**

---

**Εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολογίαν κάθ. ἦχος πλ. α΄.**

**Τὸν τάφον σου Σωτήρ.**

Εὐφραίνεται ἐν σοί, Σιὼν πόλις Κυρίου, ἡμέρας φαεινήν, σὲ πλουτοῦσα νεφέλην, καὶ στύλον ἀείφωτον, ἐν νυκτὶ ὡς προλέλεκται, ἀπὸ καύματος, ἐν ἀποκρύφῳ καὶ σκέπῃ, ταύτην φύλαττε, ἐκ δυσμενῶν ἀλαστόρων, Ἰουβενάλιε ἔνδοξε.

**Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς Θεοτόκου.**

**Μετὰ τὴν β΄. στιχ. κάθ. ἦχος δ΄.**

**Τὴν σοφίαν καὶ λόγον.**

Τὴν σοφίαν τοῦ λόγου πεπλουτηκώς, ἐξηρεύξω δογμάτων ῥεῖθρα ζωῆς, καὶ πᾶσαν κατήρδευσας εὐσεβούντων διάνοιαν· καὶ βακτηρίᾳ θείᾳ ποιμάνας τὸ ποίμνιον, ἐπὶ χλόην θείας ἐξέθρεψας γνώσεως. Ὅθεν ὡς ποιμένα καὶ διδάσκαλον μέγαν, τῆς πίστεως πρόμαχον, ἱεράρχα Ἰουβενάλιε εὐφημοῦντες βοῶμέν σοι. Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

**Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς Θεοτόκου.**

**Μετὰ τὸν πολυέλαιον. Κάθ. ἦχος πλ. δ΄.**

**Τὸ προσταχθὲν μυστικῶς.**

Ἀγαλλιάσθω ἡ πληθὺς τῶν εὐσεβούντων, ὁ Ἰουβενάλιος Χριστοῦ ὁδὸν τὴν θείαν, ὡς ἀκρότατος ἐδίδαξεν ἱεράρχης, λέγων, ὁ ἐν τοῖς κόλποις ὢν τοῦ Πατρός, προῆλθεν ἐκ τῆς παρθένου

ἄνευ σπορᾶς, εἰς τὸ σῶσαι τὸν ἄνθρωπον, κηρύξας δὲ εὐσεβῶς, τοὺς δαίμονας κατήσχυνεν, ὄντως θαῦμα παράδοξον.

**Δόξα· καὶ νῦν τὸ αὐτό.**

Οἱ ἀναβαθμοί, τὸ ά. ἀντίφωνον τοῦ δ'. ἤχου.

**Προκείμενον, ἦχος δ΄.**

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Στιχ. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σου Σιών.

**Τὸ πᾶσα πνοή. Εὐαγγέλιον τῶν Ἱεραρχῶν.**

Ὁ Ν΄. Δόξα, ταῖς τοῦ Ἱεράρχου· καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα στιχ. ἐλέησόν με ὁ Θεός.

**Καὶ τὸ Ἰδιόμελον ἦχος πλ. β΄.**

Τὴν σεπτὴν ἀνάστασιν, καὶ τάφον τῆς ζωῆς ἀκλινεῖ πόθῳ θεωρῶν, θεωρίας ἤντλησας κρυφιομύστους καὶ τοῖς πιστοῖς μετέδωκας τοῦ θείου λόγου τὴν ἔλλαμψιν· καὶ τὰς αἱρέσεις τῶν θεομάχων κατήσχυνας, ἱεράρχα Ἰουβενάλιε, πρέσβευε τὸν ἐκ τάφου ἀναστάντα Χριστὸν τὸν Θεόν, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro

Ὁ κανὼν τῆς Θεοτόκου εἰς ϛʹ. καὶ τοῦ Ἱεράρχου.

**Ὠδὴ ά. ἦχος ά. ὁ Εἱρμός.**

**Χριστὸς γεννᾶται.**

Χριστὸς κελεύει δοξάσωμεν, τὸν θεῖον θαυμαστὸν Ἰουβενάλιον· Χριστὸς ἐπὶ γῆς ἀνύψωσε, θαύματα ἐκτελοῦντα πάσῃ τῇ γῇ, ὃν δοξολογοῦντες, ἀνυμνήσωμεν φαιδρῶς, ὅτι δεδόξασται.

Ῥομφαία δίστομος πέφυκε, θερμῶς τοὺς βλασφημοῦντας ἐκτέμνουσα, Χριστὸν ἐπὶ γῆς ἐπέφανεν, ἅπαντας τὸ λατρεύειν μόνον Θεόν, καὶ ἐν τῇ ἐλπίδι, ἀνυμνεῖν τε εὐσεβῶς νῦν ἀνεδίδαξεν.

Ὀρθῶς σαφῶς ἐδογμάτισε, Χριστὸν ἐκ τοῦ πατρὸς καὶ συνάναρχον, καὶ μόνον Θεὸν ἐκήρυξεν, ἅπασι τοῖς ἐν κόσμῳ διασα-

φῶν, καὶ ἐν τῇ μελλούσῃ, ἀνελκύσει τοὺς πιστούς, ὅτι δεδόξασται.

**Θεοτοκίον.**

Χαρᾶς αἰτία χαρίτωσον, τὸν νοῦν μου καὶ φωτί σου κατάλαμψον, ψυχήν, ἁγνή, καὶ διάνοιαν, ὅπως σοὶ ἐκβοήσω χαρμονικῶς, σὺν τῷ Ἀρχαγγέλῳ, εὐχαριστήριον ᾠδὴν Θεοχαρίτωτε.

**Ὠδὴ Γ. ὁ εἱρμός.**

**Τῷ πρὸ τῶν αἰώνων.**

Στῶμεν ἐπαξίως, ὡς λαμπρῶς ἀνυμνοῦντες τὸν Ἰουβενάλιον, τῆς ἀσεβείας καθαιρέτην, καὶ Ἱεραρχῶν ἀλήπτην, σαφῶς, καὶ θερμῶς βοήσωμεν, ὁ στερεώσας τὸ σέβας ἡμῶν, ἅγιος εἶ Κύριε.

Μέγας ἐν σοφίᾳ, καὶ πολὺς τῶν θαυμάτων ὁ Ἰουβενάλιος ἦν, τοὺς ἀσεβεῖς καταισχύνας, ὡς ἀθέων προστάτας, λαμπρῶς, καὶ τρανῶς ἐβόησεν, ὁ σαρκωθεὶς Χριστὸς ὁ Θεός, ἅγιος εἶ Κύριε,

Ὁ τῆς προστασίας μετασχών τε τοῦ θρόνου λαμπρὸς Ἱερεύς. τοὺς πρὸς φθορὰν κατολισθέντας, διαβόλου ἀπάτῃ, διδάσκων, καὶ ὁδηγῶν εὐλαβῶς πρὸς Χριστόν, ὁ δι' ἡμᾶς καθ' ἡμᾶς ἐκβοᾷ, ἅγιος εἶ Κύριε.

**Θεοτοκίον.**

Ὦ τῶν ὑπὲρ νοῦν τε, καὶ ἀῤῥήτων σου θαυμάτων θεόνυμφε· πῶς καὶ τεκοῦσα παρθενεύεις, τὸν συνάναρχον λόγον πατρί, καὶ τῷ θείῳ πνεύματι, ᾧ μελῳδοῦμεν ἀπαύστως οἱ πιστοί, ἅγιος εἶ Κύριε.

**Κάθισμα ἦχ. πλ. δ΄.**

**Τὴν σοφίαν καὶ λόγον.**

Ἀποστόλων ζηλώσας τρόπους σοφέ, ὡς διάδοχος θρόνων ἀναδειχθείς, τοῖς πᾶσιν ἐκήρυξας, τὰ σωτήρια δόγματα, καὶ ἱεραρχῶν πλήθη προσῆξας ἀοίδιμε, τῷ δεσπότῃ πάντων, ποιμὴν οἷα ἄριστος· ὅθεν δυσωποῦμεν, μὴ βραδύνῃς παμμάκαρ,

www.tezaurliturgic.ro



ἡμᾶς πάσης θλίψεως, ὡς ταχέως ἐκρύσασθαι, τῇ θερμῇ προστασίᾳ σου, δόξα ὕμνος Χριστῷ τῷ Θεῷ, ὅτι σώζεις ταῖς εὐχαῖς σου ἅπαντας ἐκ Θεοῦ γὰρ ὑπάρχεις μακάριε.

**Δόξα· καὶ νῦν· τῆς Θεοτόκου.**

**Ὠδὴ Δ΄.**

**Ὁ εἱρμός. Ῥάβδος ἐκ τῆς ῥίζης.**

Θεῖος Ἰουβενάλιος ἐν Ἱερουσαλήμ, ποιμὴν γὰρ ἐκ Θεοῦ ἐχρημάτισε, καὶ ὄντως ἀρχιερεὺς τοῦ σωτῆρος ὑπάρχων, ἦλθεν ἐκβοῶν εἰς βασιλέα Χριστὸν τὸν ὄντα Θεόν, δόξα τῇ δυνάμει σου Κύριε.

Τύπος γεγονὼς ἀρχιερέων, καὶ βάσις πιστοὺς τοῦ Χριστοῦ εὐσέβειαν ἐκήρυξας, καὶ μόνη εἰκὼν τοῦ προανάρχου Πατρὸς καὶ Υἱοῦ, ὅς, ἦλθε σαρκωθεὶς ἐξ ἀπειράνδρου, αὐτὸς ὁ ὤν, καὶ Θεός, δόξα τῇ δυνάμει σου Κύριε.

Λάμπων Ἰουβενάλιος ἐκ Σιών, καὶ ποιμὴν ἐξ αὐτῆς Χριστοῦ, ἐπεὶ συνόδων ἐκήρυξε, τὰ μὴ ὀρθὰ φρονήματα ὡς καθάρματα πάντα, ἦλθεν ἐκβοῶν ἀνυποστόλως Χριστῷ, ὄντι καὶ Θεῷ δόξα τῇ δυνάμει σου Κύριε.

www.tezaurliturgic.ro

### Θεοτοκίον.

Χαῖρε λογικὴ περιστερά, κατάπαυσιν ἡ φέρουσα τῆς ἀπιστίας, καὶ πρὸς πίστιν Θεοῦ ἑλκύσασα, μυστικῶς τοὺς ἐν σκότει παρθένε, τῷ τῆς ἀγνωσίας κρατουμένους, καὶ νῦν βοῶντας πιστῶς, δόξα τῇ δυνάμει σου Κύριε.

### Ὠδὴ Ε΄. ὁ εἱρμός.

### Θεὸς ὢν εἰρήνης.

Ῥήμασι σοφίας πολλοὺς ὁδηγῶν, καὶ θαυμάτων πλουτήσας τὴν ἔνδειξιν, τὴν πίστην παρεχόμενος ἐφώτισας λαούς, ὅθεν θεογνωσίας φαιδρῶς τετυχηκότες, καὶ λαμπρῶς ὀρθρίζοντες, ἐδοξολόγουν τὸν φιλάνθρωπον.

Ἀθέων τὸ θράσος ὡς μὴ δεδιώς, ὡς λαμπρῶς, καὶ ἀρίστως ἐδίδαξας, σοφίαν ἐνυπόστατον τὸν λόγον τοῦ Θεοῦ, ὅθεν τῇ σῇ σοφίᾳ τρανῶς ἐκδιδαχθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμεν τὸν φιλάνθρωπον.

Ῥομφαία ὑπῆρχες, κατὰ δυσσεβῶν, ἐπὶ λόγοις, καὶ θαύμασιν Ἰουβενάλιε, ὡς τέμνων τὴν ἀσέβειαν καρδίας ἀπειθῶν, διὸ καὶ βασιλείας ἐπέτυχες τρισμάκαρ, καὶ λαμπρῶς, ἐβάδισας, πρὸς τὸν ποθούμενον τρισόλβιε.

**Θεοτοκίον.**

Ἡ κλίμαξ, ἣν εἶδε ποτὲ Ἰακώβ, τοὺς βροτοὺς ἀπὸ γῆς ἡ ἀνάγουσα, εἰς δόξαν τὴν οὐράνιον, σὺ εἶ ὡς ἀληθῶς παντάνασσα Μαρία, διό σοι καὶ τὸ χαῖρε εὐχαρίστως βοῶμεν οἱ σεσωσμένοι τῇ κυήσει σου.

**Ὠδὴ ΣΤ΄. ὁ εἱρμός.**

**Σπλάγχνων Ἰωνᾶν ἔμβρυον ἀπήμεσεν.**

Πρῶτος ἐν Σιὼν πατριάρχης γέγονας, ἡ σύνοδος γάρ σε ἐκήρυξεν, ἐπεὶ κατήσχυνας Εὐτυχῆ καὶ σὺν αὐτοῦ παράφρονας, διελήλυθας Χριστὸν κηρύξας θεάνθρωπον, οἷς γὰρ οὐχ ἡττήθης, τούτους δέ, Ἰουβενάλιε σαφῶς ἐδίδαξας.

Θαύμασι πολλοῖς Ἰουβενάλιος κατήστραψεν, ἰσάγγελον νοῦν οὗτος ἐξήσκησεν ἐν σοφίᾳ δὲ ἐπανέστη ἀθέοις καὶ νίκας λαβών, διελήλυθεν ἀθέων τὰ φρυάγματα, οἷς γὰρ οὐχ ὑπείκων οὗτος δὲ τὴν καρδίαν κατέσχεν ἀπήμονα.

Λάμψας ἐν Σιὼν Ἰουβενάλιε ἐποίμανας, οὐράνιον νοῦν πάντας ἐδίδαξας, τῇ Τριάδι δὲ ἀπονέμειν τὸ σέβας ὡς πάντων Θεῷ, καὶ κατήλεγξας θεομάχων ἀσέβειαν, ὄντως γὰρ εὐσεβείας στήριγμα, τοῦτο καὶ αἰσχύνης ἀνάπλεων.

**Θεοτοκίον.**

Νέος οὐρανὸς ἐδείχθης λαμπρότατος, ἀνέτειλας γὰρ τὸν μέγαν ἥλιον, καὶ ἀνέσπερον ὑπὲρ λόγον καὶ ἔννοιαν πάναγνε,

ἀθείας τε τὴν νύκτα διαλύσασα, ὅθεν πᾶσα κτίσις συναγάλλεται, καὶ τὸ χαῖρε ἀπαύστως κραυγάζει σοι.

**Κοντάκιον τῆς Θεοτόκου, καὶ τοῦ ἁγίου.**

**Ἐπεφάνης σήμερον.**

Ἐθεώρεις πάντοτε, τὸν τάφον τοῦ Κυρίου, καὶ συνόδοις ἔλαμψας τῆς Σιωνίτιδος ποιμήν, Ἱεροσολύμων ἀγλάισμα, σκέπε σῶζε ἡμᾶς, σοφὲ Ἰουβενάλιε.

**Ὁ οἶκος.**

Τῇ σοφίᾳ τῶν λόγων σου, καὶ τῷ φέγγει τοῦ βίου σου, ὡς ἀστὴρ πολύφωτος ἀξιάγαστε, ἐν ταῖς συνόδοις διέλαμψας, Νεστόριον, Εὐτύχιον καὶ Διόσκορον, τοὺς θεομάχους τῷ ἀναθέματι παρέπεμψας, καὶ ὡς ἀρωμάτων φιάλαι, αἱ σιαγόνες σου θεόφρον, νάρδου πιστικῆς πολυτίμου, σοφίας γέμουσαι, ὤφθησαν ἀλάβαστρον, σῶμα Χριστοῦ τὸ τίμιον, ἀρωματίζων τοῖς σοῖς δόγμασιν, Ἱεροσολύμων ἀγλάισμα, σκέπε σῶζε ἡμᾶς, σοφὲ Ἰουβενάλιε.

**Τῷ αὐτῷ μηνὶ Ἰουλίῳ 2, ἡ ἀνάμνησις τῆς ἐν τῇ ἁγίᾳ σορῷ καταθέσεως τῆς τιμίας ἐσθῆτος, τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἐν ταῖς Βλαχέρναις.**

»Χιτὼν μὲν Υἱοῦ χριστοφρουροῖς δημίοις.
»Ἐσθὴς δὲ μητρὸς χριστοφρουρήτῳ πόλει.
»Δευτερίῃ κατέθεντο σορῷ ἐσθῆτα Πανάγνου.

**Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰουβεναλίου. Πατριάρχου Ἱεροσολύμων.**

»Μνήμην γεραίρω τὴν Ἰουβεναλίου,
»οὗ μνῆμα θεῖον ἡ Παλαιστίνη φέρει.

www.tezaurliturgic.ro

### Ὠδὴ Ζ΄. ὁ εἱρμός.

### Οἱ παῖδες εὐσεβείᾳ.

Ὡς θεῖος καὶ σοφὸς ἱεράρχης, δυσσεβῶν φρονήματα κατεπάτησας, δεινῶν ἀπειλὴν οὐκ ἐδειλίασας, ἀλλ' ἐν μέσῳ συνόδων ὑπάρχων ἔψαλλες, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

---

(1). Ὁ δὲ Ἱεροσολύμων Δοσίθεος ἐν τῇ Δωδεκαβίβλῳ σελ. 402 γράφει. ὅτι ὁ θεῖος οὗτος Ἰουβενάλιος ἐκοιμήθη ἐν ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ πατριαρχεύσας χρόνους εἴκοσι ὀκτώ, ὡς φαίνεται εἰς τὸν βίον τοῦ Ἁγίου Σάββα, ὡς καὶ ἀλλαχοῦ λέγεται, ὅτι ἔζησε χρόνους τεσσαράκοντα τέσσαρας εἰς τὸ πατριαρχεῖον, ὡς φαίνεται καὶ εἰς τὸν βίον τοῦ Ἁγίου Εὐθυμίου. Οὗτος ὁ Πατριάρχης ἔγραψε καὶ περὶ τῆς κοιμήσεως τῆς Θεοτόκου, καὶ τῆς μετὰ τρεῖς ἡμέρας μεταστάσεως εἰς τὸν οὐρανὸν τοῦ Θεοδόχου αὐτῆς σώματος.

www.tezaurliturgic.ro



Λαοὶ σὴν θεοσέβειαν ὁρῶντες εὐσεβεῖς γεγόνασι, καὶ κατεφρόνησαν τῶν εὐσεβῶν τὰς τελετὰς καὶ τὰ σεβάσματα, καὶ ἐνώπιον πολλῶν ἑστῶτες ἔψαλλον, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Εὐφράνθης, ὢ τρισμάκαρ, εὐσεβείᾳ, τριλαμποῦς ἐκλάμψεως καθοπλισάμενος, σοφῶς τοὺς πολλοὺς σὺ καθοδήγησας, ὡς ἐν μέσῳ ἀσεβῶν ἑστάναι ψάλλοντας, ὁ τῶν πατέρων θεὸς εὐλογητός εἶ.

**Θεοτοκίον.**

Χαῖρε θεογεννῆτορ ἡ φωτός σου, ταῖς ἀκτῖσι λάμψασαν τὴν οἰκουμένην, σκοτεινοῖς ἐμπεσοῦσαν παραπτώμασι καὶ φαιδρύνουσα τοὺς πίστει ἀναμέλποντας, ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

## Ὠδὴ Η΄. Ὁ Εἱρμός.

**Θαύματος ὑπερφυοῦς.**

Σῶσον με ὑπερφυῶς ἔχων τὴν χάριν, τὸν ἐρχόμενον πάσῃ ἀνάγκῃ, σὸς γὰρ καγὼ πέφυκα πάντως δοῦλος, ὡς δυνατός, καὶ ἡμῖν παρέχεις χάριν, ἣν ἐδέξω Θεοῦ. Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν. Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὕμνησας ἱερουργῶν θεὸν σωτῆρα, ἐβεβαίωσας θαύμασι πίστιν, Χριστῷ γὰρ σὺ ἔσπευδες νέμειν σέβας καὶ τοῖς πολλοῖς τὴν θεότητα δεικνύειν, ἣν καὶ ἔδει νοεῖν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν εὐλογείτω ἡ κτίσις πᾶσα τὸ Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νάματα ζωοποιοῦ Θεολογίας, ἐπιδέδωκας πᾶσι τρισμάκαρ· σὺ γὰρ πυρπολούμενος θείῳ ζήλῳ πανευσεβῶς διεκύρυττες τὴν πίστιν, ἣν ᾳεὶ δεῖ φρουρεῖν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον καὶ ὑπερυψοῦτω εἰς πάντας τοὺς αἰῶνας·

**Θεοτοκίον.**

Χαῖρε τοῦ φωτὸς τοῦ ἀπροσίτου, θεῖον ἐνδιαίτημα παρθενο-

μῆτορ, χαῖρε χώρα εὔκαρπε, στάχυν θεῖον, ὡς ἀληθῶς ἐκβλαστήσασα τὸν τρέφοντα τὰ σύμπαντα, ᾧ πάντες βοῶμεν ἀναμέλποντες· εὐλογείτω πᾶσα ἡ Κτίσις τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

### ᾨδὴ Θ΄. Ὁ Εἱρμός.

### Μυστήριον ξένον.

Σὺν ἁγίοις πᾶσιν, ὁρῶ καὶ ὁμόσκηνον τὸν Ἰουβενάλιον, οὗτος ἦν γὰρ εὐσεβῶς καταισχύνας ἀσεβεῖς παράφρονας, δι᾽ οὗ ἐδοξάσθη, ὁ φιλάνθρωπος Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἰδόντες τὸν θεῖον τελοῦντα παράδοξα, οἱ δυσσεβεῖς ἔφριξαν, ὄντως θαυμαστὸς γὰρ ἐδείχθη ὁ ἔνθεος οὗτος, δι᾽ οὗ προσκυνεῖται ὁ φιλάνθρωπος Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ὑμνῶν σε πάντοτε θεῖε Ἰουβενάλιε, ἱκετεύω πάντιμε, ἵνα με συμφορῶν ἐκλυτρώσῃς παντοίων θεόφρων· δι᾽ οὗ καὶ δοξάζεται ἑκάστοτε Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

### Θεοτοκίον.

Θεόνυμφε Κόρη, ὁ σὸς νυμφίος ἐν σοί, ἄνωθεν. Ἐσκήνωσε κόσμον εὐωδίασε καὶ πάντα, ὡς ῥόδον ἐν ἀκάνθαις σε πρὶν εὑρηκώς, καὶ ἄνθος ἐν ταῖς κοιλάσι, τὸ πανεύοσμον, κρῖνόν τε πανάσπιλον.

www.tezaurliturgic.ro

### Ἐξαποστειλάριον.

### Φῶς ἀναλλοίωτον.

Ἐν ἱεράρχαις ἀστράπτεις, ὡς ἥλιος ἐν ἡμέρᾳ, καὶ ἐν Ἱεροσολύμοις ἐκλάμπεις, ὥσπερ ἐν λαμπηδόνι, διό σε εὐφημοῦμεν Ἰουβενάλιε πάτερ, Σιὼν ἁγίας τὸ κλέος.

### Θεοτοκίον.

Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους Ϛ΄. καὶ ψάλλομεν στιχ. προσόμοια τῆς Θεοτόκου Γ΄. καὶ τοῦ ἁγίου τὰ παρόντα.

## Ἦχος β'.

### Ὅτε ἐκ τοῦ ξύλου.

Σκεῦος ἐκλογῆς σε προϊδών, πάντων ὁ ἐτάζων καρδίας, καὶ βλέπων κρύφια, ἄξιον καθέστηκε, ποιμένα θείας Σιών, ἣν πανσόφως κατήρδευσας διδάγμασι θείοις καὶ καρπὸν σωτήριον αὐτῶν ἐξήνεγκας, ὄντως τῆς πίστεως μάκαρ καὶ ταῖς διδαχαῖς σου προθύμως, τέλος ἀπεσφράγισας Ἰουβενάλιε.

Δεῦτε ἱερέων ἡ πληθύς, καὶ ἀρχιερέων οἱ δῆμοι, πατριαρχῶν ἡ κρηπίς, ᾄσμασι τιμήσωμεν τὸν ἱεράρχην Χριστοῦ, τὸν τὴν πλάνην πατήσαντα, καὶ νίκην λαβόντα στέφανον ἀκήρατον παρὰ Χριστοῦ τοῦ Θεοῦ, οὗπερ παρεστὼς νῦν τῷ θρόνῳ, νέμει δαψιλῶς τὰς ἰάσεις πᾶσι, καὶ πταισμάτων ἀπολύτρωσιν.

Οἶκον ἀπετέλεσας σαυτόν, πνεύματος ἁγίου, τρισμάκαρ, καθάρας σου τὴν ψυχήν, καὶ τῷ θείῳ χρίσματι ἀρχιερεὺς γεγονὼς Ἰουβενάλιε ἔνδοξε, λαοῦ καὶ προστάτης, τοῖς ἐπιτελοῦσι τὴν θείαν μνήμην σου, αἴτησαι παμμάκαρ δοθῆναι, λύσιν τῶν δεινῶν ταῖς πρεσβείαις, καὶ ἁμαρτημάτων τὴν συγχώρησιν.

### Δόξα ἦχος πλ. α'.

Λαμπρύνεται σήμερον, ὡς ἔαρ εὐφρόσυνον, ἡ πάνσεπτος ἑορτή, ἐν μετοπώρῳ καρδίας ἐκτέρπουσα, τῇ διηγήσει τῶν θαυμάτων σου, ἱεράρχα Ἰουβενάλιε· ἱερέων χρίσμα ἅγιον κεχρισμένος, καὶ ὡς ἀρχιερεὺς τοῦ Κυρίου, ἐνδυσάμενος δικαιοσύνην· καὶ τὸν ναὸν τῆς Σιὼν κατελάμπρυνας λειτουργῶν καὶ καθοραΐζων τὸν τάφον τοῦ Σωτῆρος. Ὦ πατρὶς ἁγία Ἱερουσαλήμ! ἡ σὲ ἐβλάστησεν ἡ κραταιὰ καὶ ἀνώλεθρος· ὦ ῥίζης εὐσεβοῦς, καὶ καρποὶ εὐφροσύνης! εὐφραίνων τὰς καρδίας τῶν πιστῶν διὰ τῆς μελιῤῥύτου διδασκαλίας σου· ἐνώπιον δὲ βασιλέων καὶ ἀρχιερέων σάλπιγξ μεγαλόφωνος δειχθείς, ὑπὲρ τῆς ἁγίας Τριάδος, τοὺς αἱρεσιάρχας κατήσχυνας, ἐπιστηρίζων τὴν τοῦ Χριστοῦ ἐκκλησίαν· ὅθεν χαίρων προσεχώρησας ἁγίων εἰς ἅγια· ὄντως δικαίως ἀγάλλῃ, καὶ περιχαρῶς συλλειτουργεῖς τοῖς ἄνω

λειτουργῶν· εὐχὰς δὲ ἀναπέμπων πρὸς Κύριον, ὑπὲρ τῶν πί-
στει ἀνευφημούντων σε.

**Καὶ νῦν τῆς Θεοτόκου.**

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

**Εἰς τὴν λειτουργίαν**

τὰ τυπικά, καὶ ἐκ τοῦ κανόνος τοῦ ἁγίου ᾠδὴ Γ'. καὶ ΣΤ'.

**Ὁ Ἀπόστολος.**

(Ἀδελφοὶ εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας).

**Τὸ Εὐαγγέλιον.**

(Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων κτλ.)

**Κοινωνικὸν τῆς Θεοτόκου.**

**Μεγαλυνάριον τοῦ ἁγίου.**

Τὸν ἐν ἱεράρχαις ἱερουργόν, μύστην τοῦ Δεσπότου, καὶ ἐν Ἱεροσολύμοις θαυματουργόν, ῥῦσαι ἡμᾶς αἰωνίως, καὶ φύλαττε εὐχαῖς σου Ἰουβενάλιε ἔνδοξε.

**Καὶ τῆς Θεοτόκου.**

Δέξαι μου τὴν δέησιν Μαριάμ, καὶ τοὺς δακρυρρόους στεναγμούς μου, μῆτερ ἁγνή, καὶ ἐκ τῶν παγίδων ἐχθροῦ με σῶσον κόρη, ἐν σοὶ γὰρ τὴν ἐλπίδα τίθημι Δέσποινα.

Τὴν ἐσθῆτα πάντες τὴν ἱεράν, καὶ τὴν σεπτὴν Ζώνην, τῆς Θεόπαιδος Μαριὰμ προσκυνοῦντες πίστει σωζόμεθα παντοίων, καὶ νόσων καὶ κινδύνων αὐτῆς τῇ χάριτι.